ἔστι μέν τοι ἡ προαίρεσις οὐ τούτου ἀλλὰ τῆς τούτου ἕνεκα. ἕνεκα τοῦ τέλους δεῖ πράττειν· τοῦ δὲ τὸ τέλος ὀρθὸν εἶναι τῆς προαιρέσεως, οὗ ἡ ἀρετὴ αἰτία. καὶ διὰ τοῦτο ἐκ τῆς προαιρέσεως, κρίνομεν ποῖός τις· τοῦτο δέ ἐστι τὸ τίνος ἕνεκα πράττει, ἀλλ᾽ οὐ τί πράττει. ὁμοίως δὲ καὶ ἡ κακία τῶν ἐναντίων ἕνεκα ποιεῖ τὴν προαίρεσιν. εἰ δή τις, ἐφ᾽ αὐτῷ ὂν πράττειν μὲν τὰ καλά, ἀπρακτεῖν δὲ τὰ αἰσχρά, τοὐναντίον ποιεῖ, δῆλον ὅτι οὐ σπουδαῖός ἐστιν οὗτος ὁ ἄνθρωπος. ὥστ᾽ ἀνάγκη τήν τε κακίαν ἑκούσιον εἶναι καὶ τὴν ἀρετήν. οὐδεμία γὰρ ἀνάγκη τὰ μοχθηρὰ πράττειν. διὰ ταῦτα καὶ ψεκτὸν ἡ κακία καὶ ἡ ἀρετὴ ἐπαινετόν. τὰ γὰρ ἀκούσια αἰσχρὰ καὶ κακά, οὐ ψεκτά· οὐδὲ τὰ ἀγαθὰ ἐπαινετά, ἀλλὰ τὰ ἑκούσια. ἔτι πάντας ἐπαινοῦμεν καὶ ψέγομεν, εἰς τὴν προαίρεσιν βλέποντες μᾶλλον, ἢ εἰς τὰ ἔργα· καίτοι αἱρετώτερον ἡ ἐνέργεια τῆς ἀρετῆς. ἔτι πράττουσι μὲν φαῦλα καὶ ἀναγκαζόμενοι, προαιρεῖται δ᾽ οὐδείς. ἔτι διὰ τὸ ῥᾴδιον εἶναι ἰδεῖν τὴν προαίρεσιν ὁποία τις, διὰ ταῦτα ἐκ τῶν ἔργων ἀναγκαζόμεθα κρίνειν ὁποῖός τις. αἱρετώτερον μὲν οὖν ἡ ἐνέργεια, ἐπαινετώτερον δ᾽ ἡ προαίρεσις. ἔκ τε τῶν κειμένων οὖν συμβαίνει ταῦτα, καὶ ἔτι ὁμολογεῖται τοῖς φαινομένοις.

A Non enim ipsius est electio, sed eius quod ipsius gratia. Equidem finis gratia agere oportet. Verùm vt finis rectus præfigatur, electionis munus est, cuius causa est virtus. quocirca qualis quisque sit ex electione, iudicamus non quid, sed cuius gratia faciat expendentes. Similiter & virtus contrariorum gratia electionem efficit. Nam si quis, cùm in potestate sua sit, bonum agere, malúmque omittere, agat contra-
B rium: necessum est, hunc honesti studiosum haudquaquam esse. Itaque virtus, & vitium voluntaria sunt, cùm nulla necessitas ad mala perpetranda cogat. Inuoluntaria enim, cùm turpia sint, nō vituperantur tamen, contráque bona non inuoluntaria, sed voluntaria laudantur. Postremò omnes laudantes, vituperantésque, electionem magis, quàm facta, intuemur, etiam si virtute sit eligibilior operatio. Faciunt item mala quidem coacti, sed eligit
C ea nemo. Sed & quia difficile electionem cuiusmodi sit perspicere, idcirco ex operibus qualis quisque sit, iudicare necessum habemus. Itaque eligibilior actio, sed laudabilior electio. Ex positis igitur hæc eueniunt, & consentanea sunt apparentibus.

## ΑΡΙΣΤΟΤΕΛΟΥΣ ἠθικῶν Εὐδημίων τὸ Γ.

### Κεφάλαιον α.

ΟΤΙ μὲν οὖν μεσότητές εἰσί τε ἐν ἀρεταῖς, καὶ αὗται προαιρετικαί, καὶ αἱ ἐναντίαι κακίαι, καὶ τίνες εἰσὶν αὗται, καθόλου εἴρηται. καθ᾽ ἑκάστην δὲ λαμβάνοντες λέγωμεν ἐφεξῆς, καὶ πρότερον εἴπωμεν περὶ ἀνδρείας. σχεδὸν δὴ δοκεῖ πᾶσιν, ὅ, τ᾽ ἀνδρεῖος εἶναι περὶ φόβους, καὶ ἡ ἀνδρεία μία τῶν ἀρετῶν. διειλόμεθα δ᾽ ἐν τῇ διαγραφῇ πότερον θράσος καὶ φόβος ἐναντία· καὶ γάρ ἐστί πως ἀντικείμενα ἀλλήλοις. δῆλον οὖν ὅτι καὶ οἱ κατὰ τὰς ἕξεις ταύτας λεγόμενοι ὁμοίως ἀντικείσονται σφίσιν αὐτοῖς· οἷον ὁ δειλὸς (οὗτος γὰρ λέγεται κατὰ τὸ φοβεῖσθαι μᾶλλον ἢ δεῖ, καὶ θαρρεῖν ἧττον ἢ δεῖ) καὶ ὁ θρασύς· καὶ γὰρ οὗτος κατὰ τὸ τοιοῦτος εἶναι, οἷος φοβεῖσθαι μὲν ἧττον ἢ δεῖ, θαρρεῖν δὲ μᾶλλον ἢ δεῖ. διὸ καὶ παρωνυμιάζεται·

D

## ARISTOTELIS ETHICORVM AD Eudemum

### LIBER TERTIVS, CAPVT I.

MEDIOCRITATES igitur esse in virtutibus, eásque electiuas, & contraria earum vitia, quæque sint, vniuersaliter dictum est. Singulatim verò vnamquan-
E que persequentes, primùm de fortitudine dicemus. Ferè enim apud omnes in confesso est, & fortem circa terribilia versari, & fortitudinem vnam è virtutibus esse. Distinximus autem in tabula superiore, vtrum confidentia, & fortitudo, cùm aliquo pacto sibi inuicem opponantur, etiam inter se contraria sint. Vnde manifestum, qui ab iis habitibus nomen habent, etiam inter sese inuicē opponi, quemadmodū timidus: nam is magis, quàm deceat,
F timere, minùs verò audere dicitur. Et confidens, qui ipse quoque ex eo quòd huiusmodi sit, minùs scilicet, quàm deceat, timens, magísq., quàm deceat, audens, nomē trahit; vnde & audax ab audacia, denominatur. Quocirca cùm fortitudini sit circa